σκευὴν ταύτην οὐ Πελοποννήσῳ μόνον ἔσεσθαι βοηθὸν
ἱκανήν, σχεδὸν δῆλον, ἀλλὰ καὶ τοῖς Ἕλλησιν πᾶσιν, εἴ c
τις τῶν βαρβάρων αὐτοὺς ἀδικοῖ, καθάπερ οἱ περὶ τὸ Ἴλιον
οἰκοῦντες τότε, πιστεύοντες τῇ τῶν Ἀσσυρίων δυνάμει τῇ
περὶ Νῖνον γενομένῃ, θρασυνόμενοι τὸν πόλεμον ἤγειραν
τὸν ἐπὶ Τροίαν. Ἦν γὰρ ἔτι τὸ τῆς ἀρχῆς ἐκείνης σχῆμα
τὸ σῳζόμενον οὐ σμικρόν· καθάπερ νῦν τὸν μέγαν βασιλέα
φοβούμεθα ἡμεῖς, καὶ τότε ἐκείνην τὴν συσταθεῖσαν σύν-
ταξιν ἐδέδισαν οἱ τότε. Μέγα γὰρ ἔγκλημα πρὸς αὐτοὺς
ἡ τῆς Τροίας ἅλωσις τὸ δεύτερον ἐγεγόνει· τῆς ἀρχῆς γὰρ d
τῆς ἐκείνων ἦν μόριον. Πρὸς δὴ ταῦτ᾽ ἦν πάντα ἡ τοῦ
στρατοπέδου τοῦ τότε διανεμηθεῖσα εἰς τρεῖς πόλεις κατα-
σκευὴ μία ὑπὸ βασιλέων ἀδελφῶν, παίδων Ἡρακλέους,
καλῶς, ὡς ἐδόκει, ἀνηυρημένη καὶ κατακεκοσμημένη καὶ
διαφερόντως τῆς ἐπὶ τὴν Τροίαν ἀφικομένης. Πρῶτον μὲν
γὰρ τοὺς Ἡρακλείδας τῶν Πελοπιδῶν ἀμείνους ἡγοῦντο
ἀρχόντων ἄρχοντας ἔχειν, ἔπειτ᾽ αὖ τὸ στρατόπεδον τοῦτο
τοῦ ἐπὶ Τροίαν ἀφικομένου διαφέρειν πρὸς ἀρετήν· νενικη- e
κέναι γὰρ τούτους, ἡττᾶσθαι δ᾽ ὑπὸ τούτων ἐκείνους,
Ἀχαιοὺς ὄντας ὑπὸ Δωριῶν. Ἆρ᾽ οὐχ οὕτως οἰόμεθα καὶ
τινι διανοίᾳ τοιαύτῃ κατασκευάζεσθαι τοὺς τότε;

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Οὐκοῦν καὶ τὸ βεβαίως οἴεσθαι ταῦθ᾽ ἕξειν εἰκὸς
αὐτοὺς καὶ χρόνον τιν᾽ ἂν πολὺν μένειν, ἅτε κεκοινωνη- 686 a
κότας μὲν πολλῶν πόνων καὶ κινδύνων ἀλλήλοις, ὑπὸ γένους
δὲ ἑνὸς τῶν βασιλέων ἀδελφῶν ὄντων διακεκοσμῆσθαι,